Ἄδηλον.

Ἐλπίδα καὶ νέμεσιν εὔνους παρὰ βωμὸν ἔτευξα,
Τὴν μὲν, ἵν᾽ ἐλπίζῃς· τὴν δ᾽, ἵνα μηδὲν ἔχῃς.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Εἰ βίον ἐν μερόπεσσι τύχης παίζουσιν ἑταῖραι
Ἐλπίδες, ἀμβολάδην πάντα χαριζόμεναι,
Παίζομαι, εἰ βροτός εἰμι. βροτὸς δ᾽ εὖ οἶδα καὶ αὐτὸς
Θνητὸς ἐὼν, δολιχαῖς δ᾽ ἐλπίσι παιζόμενος.
Αὐτὸς ἑκόντι γέγηθα πλανώμενος· οὐδὲ γνοίμην
Εἰς κρίσιν ἡμετέρην πικρὸς ἀριστοτέλης.
Τὴν γὰρ ἀνακρείοντος ἐνὶ πραπίδεσσι φυλάσσω
Παρφασίην, ὅτι δεῖ φροντίδα μὴ κατέχειν.

Τοῦ αὐτοῦ.

Πανδώρης ὁρόων γελόω πίθον, οὐδὲ γυναῖκα
Μέμφομαι, ἀλλ᾽ αὐτῶν τὰ πτερὰ τῶν ἀγαθῶν.
Ὡς γὰρ ἐπ᾽ οὐλύμποιο μετὰ χθονὸς ἤθεα πάσης
Ποτῶνται, πίπτειν καὶ κατὰ γῆν ὄφελον.
Ἡ δὲ γυνὴ μετὰ πῶμα κατωχρήσασα παρειὰς,
Ὤλεσεν ἀγλαΐην ὧν ἔφερεν χαρίτων.
Ἀμφοτέρων δ᾽ ἥμαρτεν ὁ νῦν βίος, ὅτι καὶ αὐτὴν
Γηράσκουσαν ἔχει, καὶ πίθος οὐδὲν ἔχει.

---

ΕΠΑΙΝΟΙ, κεφ. κϛ.

Ἄδηλον.

Μουσάων ἑλικωνιάδων ἀρχώμεθ᾽ ἀείδειν,
Ἔγραφε ποιμαίνων (ὡς λόγος) ἡσίοδος.

Μῆνιν